γεωργοῦσιν τὴν γῆν, πάλιν ὅταν σπείρωσι, θερίσαντες ἀναφέρου-
σιν τῷ βασιλεῖ· καὶ ἕτερος τὸν ἕτερον ἀναγκάζοντες ἀναφέρουσι
τοὺς φόρους τῷ βασιλεῖ. [7]καὶ αὐτὸς εἷς μόνος ἐστίν· ἐὰν εἴπῃ 7
ἀποκτεῖναι, ἀποκτέννουσιν· εἶπεν ἀφεῖναι, ἀφίουσιν· [8]εἶπε πατάξαι, 8
τύπτουσιν· εἶπεν ἐρημῶσαι, ἐρημοῦσιν· εἶπεν οἰκοδομῆσαι, οἰκο-
δομοῦσιν· [9]εἶπεν ἐκκόψαι, ἐκκόπτουσιν· εἶπεν φυτεῦσαι, φυτεύ- 9
ουσιν. [10]καὶ πᾶς ὁ λαὸς αὐτοῦ καὶ αἱ δυνάμεις αὐτοῦ ἐνακούουσιν. 10
[11]πρὸς δὲ τούτοις αὐτὸς ἀνάκειται, ἐσθίει καὶ πίνει καὶ καθεύδει, 11
αὐτοὶ δὲ τηροῦσιν κύκλῳ περὶ αὐτὸν καὶ οὐ δύνανται ἕκαστος
ἀπελθεῖν καὶ ποιεῖν τὰ ἔργα αὐτοῦ οὐδὲ παρακούουσιν αὐτοῦ. [12]ὦ 12
ἄνδρες, πῶς οὐχ ὑπερισχύει ὁ βασιλεύς, ὅτι οὕτως ἐπακουστός
ἐστιν; καὶ ἐσίγησεν.

[13]Ὁ δὲ τρίτος ὁ εἴπας περὶ τῶν γυναικῶν καὶ τῆς ἀληθείας — 13
οὗτός ἐστιν Ζοροβαβελ — ἤρξατο λαλεῖν [14]Ἄνδρες, οὐ μέγας ὁ 14
βασιλεὺς καὶ πολλοὶ οἱ ἄνθρωποι καὶ ὁ οἶνος ἰσχύει; τίς οὖν ὁ
δεσπόζων αὐτῶν ἢ τίς ὁ κυριεύων αὐτῶν; οὐχ αἱ γυναῖκες; [15]αἱ 15
γυναῖκες ἐγέννησαν τὸν βασιλέα καὶ πάντα τὸν λαόν, ὃς κυριεύει
τῆς θαλάσσης καὶ τῆς γῆς· [16]καὶ ἐξ αὐτῶν ἐγένοντο, καὶ αὗται 16
ἐξέθρεψαν αὐτοὺς τοὺς φυτεύοντας τοὺς ἀμπελῶνας, ἐξ ὧν ὁ οἶνος
γίνεται. [17]καὶ αὗται ποιοῦσιν τὰς στολὰς τῶν ἀνθρώπων, καὶ αὗται 17
ποιοῦσιν δόξαν τοῖς ἀνθρώποις, καὶ οὐ δύνανται οἱ ἄνθρωποι εἶναι
χωρὶς τῶν γυναικῶν. [18]ἐὰν δὲ συναγάγωσιν χρυσίον καὶ ἀργύριον 18
καὶ πᾶν πρᾶγμα ὡραῖον καὶ ἴδωσιν γυναῖκα μίαν καλὴν τῷ εἴδει
καὶ τῷ κάλλει, [19]καὶ ταῦτα πάντα ἀφέντες εἰς αὐτὴν ἐγκέχηναν καὶ 19
χάσκοντες τὸ στόμα θεωροῦσιν αὐτήν, καὶ πάντες αὐτὴν αἱρετί-
ζουσιν μᾶλλον ἢ τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ πᾶν πρᾶγμα
ὡραῖον. [20]ἄνθρωπος τὸν ἑαυτοῦ πατέρα ἐγκαταλείπει, ὃς ἐξέθρεψεν 20
αὐτόν, καὶ τὴν ἰδίαν χώραν καὶ πρὸς τὴν ἰδίαν γυναῖκα κολλᾶται·
[21]καὶ μετὰ τῆς γυναικὸς ἀφίησι τὴν ψυχὴν καὶ οὔτε τὸν πατέρα 21
μέμνηται οὔτε τὴν μητέρα οὔτε τὴν χώραν. [22]καὶ ἐντεῦθεν δεῖ ὑμᾶς 22
γνῶναι ὅτι αἱ γυναῖκες κυριεύουσιν ὑμῶν· οὐχὶ πονεῖτε καὶ μο-
χθεῖτε καὶ πάντα ταῖς γυναιξὶν δίδοτε καὶ φέρετε; [23]καὶ λαμβάνει 23
ἄνθρωπος τὴν ῥομφαίαν αὐτοῦ καὶ ἐκπορεύεται ἐξοδεύειν καὶ λη-
στεύειν καὶ κλέπτειν καὶ εἰς τὴν θάλασσαν πλεῖν καὶ ποταμούς·
[24]καὶ τὸν λέοντα θεωρεῖ καὶ ἐν σκότει βαδίζει, καὶ ὅταν κλέψῃ καὶ 24
ἁρπάσῃ καὶ λωποδυτήσῃ, τῇ ἐρωμένῃ ἀποφέρει. [25]καὶ πλεῖον ἀγαπᾷ 25

7 εις] ει B*† | αποκτεννουσιν] -κτεινουσιν A*L†, -κτενουσιν VA^c | ειπεν] εαν ειπη A | αφειναι BL†] αφιεναι rel. || 8 ειπεν 2^0⌒3^0 A || 11 αυτοι] ουτοι A | κυκλω / περι αυτον] tr. A | δυναται A || 14 init.] pr. ω A | αυτων ult. > B*† || 16 φυτευσαντας BL† || 17 δοξαν τοις ανθρ.] τας δοξας των ανθρωπων A† | ειναι / χωρις τ. γυν.] tr. A || 18 και παν πρ. ωρ. > A | και ιδωσιν] ουχι αγαπωσιν A || 19 εγκεχηναν] εγ > B† || 23 εξοδευειν και] εις εξοδιαν A | πλει A